τοσῶδες γίνεται καὶ τὸ ἔαρ καὶ τὸ θέρος; [ἢ] A ὅτι ἐν μὲν τῷ χειμῶνι διὰ τὴν ἀλέαν καὶ ὑγρότητα, ὁμοίως τὰ σώματα διάκειται τῇ ὥρᾳ; ὑγρὰ γὰρ ἀνάγκη εἶναι καὶ οὐ συνεστηκότα. οὕτω δὲ ἐχόντων, τὸ ἔαρ ψυχρὸν ὄν, ἔπηξε καὶ ἐσκλήρυνεν αὐτὰ διὰ τὸν αὐχμόν. ὥστε ταῖς μὲν κυούσαις ὁ τόκος ἐαρινὸς εἰς ἐκτρώσεις γίνεται, διὰ τὴν θερμασίαν καὶ τὸν σφακελισμὸν τὸν γινόμενον ὑπὸ τῆς ξηρᾶς ψυχρότητος, ἅτε οὐκ ἐκκρινομένης τῆς ὑγρότητος· B τὰ δὲ κυόμενα παιδία, ἀσθενῆ γίνεται καὶ πηρά, διὰ τὴν ὑπερβολὴν τοῦ ψύχους. συμβέβηκε γὰρ τότε γινόμενα [ἐν εὐδίᾳ,] καὶ συστῆναι καὶ τραφῆναι ἐν τῇ τεκούσῃ. τοῖς δὲ ἄλλοις, ἅτε ἐν τῷ ἀέρι οὐκ ἀποκαθαρθέντος τοῦ φλέγματος [διὰ] τὴν ὑπερβολήν, (ὃ συμβαίνει ὅταν ἀλεεινὸν γίνηται) ἀλλὰ διὰ ψῦχος συστάντος, ὅταν ἐπιλάβῃ τὸ θέρος, C καὶ ἡ ἀλέα τήκουσα βίᾳ, τοῖς μὲν χολώδεσι καὶ ξηροῖς, διὰ τὸ μὴ διερὰ εἶναι τὰ σώματα αὐτοῖς, ἀλλὰ τὴν φύσιν αὖον ἔχειν, γίνονται μὲν ὑγρότητες, αὗται δὲ λεπταί· ὥστε ὀφθαλμίαις ξηραῖς ἁλίσκονται· οἱ δὲ φλεγματώδεις, βράγχοις, καὶ εἰς τὸν πνεύμονα καταῤῥόοις. ταῖς γυναιξὶ δὲ δυσεντερίαι γίνονται, διὰ τὴν ὑγρότητα καὶ ψυχρότητα τῆς φύσεως· τοῖς δὲ γεραιτέροις, ἀποπληξίαι, D ὅταν ἀθρόον λυθὲν ὑγρὸν ἐπιπέσῃ, καὶ δι' ἀσθένειαν τοῦ συμφύτου θερμοῦ παγῇ. ι Διὰ τί ἐὰν μὲν τὸ θέρος αὐχμηρὸν γίνηται καὶ βόρειον, τὸ δὲ μετόπωρον ἐναντίον, ὑγρὸν καὶ νότιον, ἐν τῷ χειμῶνι κεφαλαλγίαι τε γίνονται, καὶ βράγχοι, καὶ βῆχες, καὶ τελευτῶσιν εἰς φθίσεις; ἢ ὅτι λαμβάνει ὕλην πολλὴν ὁ χειμών· ὡς αὐτῷ ἔργον ἐστί, E πῆξαι τὴν ὑγρότητα καὶ φλέγμα ποιῆσαι; ἐν μὲν οὖν ταῖς κεφαλαῖς, ὅταν ὑγρασία γίνηται, βάρη ποιεῖ· ἐὰν δὲ ᾖ πολλὴ καὶ ψυχρά, σφακελισμούς. ἐὰν δὲ διὰ πλῆθος μὴ πήξῃ, ῥεῖ εἰς τὸν ἐχόμενον τόπον· ὅθεν αἱ βῆχες καὶ οἱ βράγχοι, καὶ αἱ φθόαι γίνονται. ια Διὰ τί ἐὰν βόρειον γίνηται τὸ θέρος καὶ αὐχμῶδες, καὶ τὸ μετόπωρον, συμφέρει τοῖς φλε- F γματώδεσι καὶ ταῖς γυναιξίν; ἢ ὅτι ἡ φύσις ἐπὶ θάτερα ἀμφοῖν ὑπερβάλλει; ὥστε εἰς τοὐναντίον ἡ ὥρα ἑλκύσασα, καθίστησιν εἰς τὴν εὐκρασίαν· καὶ παραχρῆμά τε ὑγιαίνουσιν, ἐὰν μή τι δι' ἑαυτοὺς ἁμαρτάνωσι·

cent? An quòd hyemis tepor, & humor faciunt, vt corpora tempori eiuſmodi proxima in qualitate reddantur. Humida enim, laxáque fiant, & ſoluta, neceſſe eſt. Quæ cùm ita ſe habeant, verè frigido, atque ſicco, facilè concreſcere poſſunt, & indurari. Itaque grauidæ, quibus tunc adeſt partus, abortu periclitantur, videlicet incaleſcendi, crudeſcendíque ratione. Quæ res ſyderatio appellata eſt, quam illa committit frigiditas, impatiens omnino excernendi humoris. Infantes verò, quos gerunt, imbecilles, læſóſque immodicam ob frigiditatem, edunt. Accidit enim, vt qui tunc cælo ſereno naſcuntur, iidem pluuio benignè & conſtiterint, & nutriti fuerint intra parentem: cæteris verò, cùm pituita vitio ſuæ nimietatis purgata non eſt (quod fit, vbi tepidum ſe exhibuit) ſed coacta à frigore conſtitit cùm tepor occupauit, æſtatis vi colliqueſcit, ſi bilioſi, ſiccique ſunt, quòd eorum corpora minimè humidam, ſed ſquallibundam ſortiuntur naturam, excitantur quidem humores, ſed tenues: quamobrem eos lippitudo arida malè habet. Si verò pituita redundant, raucitates, diſtillationéſque in pulmonem oriuntur: mulieres extorquẽt difficultates inteſtinorum, quia natura ſunt humida, frigidáque, ſeniores ſtupor attonitos reddit, vbi vniuerſus reſolutus humor incubuit, éxque imbecillitate caloris natiui concreuit. 10 Cur ſi æſtas ſicca, & Aquilonia fuit, autumnus ex aduerſo humidus, atque Auſtrinus, hyeme, quæ proxima eſt, dolor capitis, raucitas, tuſſiſque oriantur, atque in tabem demum euadant? An quia hyems multum materię excipit, itaque humorem cogere atque pituitam inde conficere magnum ei negotium eſt. Ergo difficile eſt humorẽ denſari, conficíque inde pituitam. Quod ſi in capite humor conſtiterit, grauitatem committit: & ſi nimius, frigidúſque eſt, crudorem vtique mouet, cui ſyderatio nomen eſt: necnon ſi ob nimiam ſui copiam concreſcere minus potuit, in locũ defluit proximum, atque ita tuſſim, raucitatẽ, & tabẽ contrahit. 11 Cur ſi ſicca æſtas, ſiccúſq. autumnus, Aquilones habuerint, mulieribus, & omnibus pituita abundantibus ſecunda valetudo contingat? An quia natura vtrorumque in alteram exuberat partẽ, itaque tempus in partem trahendo contrariam ad medium habitum, bonúmque perducit. eo igitur ipſo tempore optimẽ valent niſi quid vltrò ipſi perperam agãt, aut humidi ad hyemem ita deueniant,